# ΝΑΟΥΜ

1 ΛΗΜΜΑ Νινευή, βιβλίον ὁράσεως Ναοὺμ
τοῦ Ἐλκεσαίου.
2 Θεὸς ζηλωτὴς καὶ ἐκδικῶν Κύριος,
ἐκδικῶν Κύριος μετὰ θυμοῦ, ἐκδικῶν Κύριος
τοὺς ὑπεναντίους αὐτοῦ, καὶ ἐξαίρων αὐτὸς
τούς ἐχθροὺς αὐτοῦ.
3 Κύριος μακρόθυμος, καὶ μεγάλη ἡ ἰσχὺς
αὐτοῦ, καὶ ἀθῷον οὐκ ἀθῳώσει Κύριος. ἐν
συντελείᾳ καὶ ἐν συσσεισμῷ ἡ ὁδὸς αὐτοῦ,
καὶ νεφέλαι κονιορτὸς ποδῶν αὐτοῦ.
4 ἀπειλῶν θαλάσσῃ καὶ ξηραίνων αὐτὴν
καὶ πάντας τοὺς ποταμοὺς ἐξερημῶν·
ὠλιγώθη ἡ Βασανῖτις καὶ ὁ Κάρμηλος, καὶ τὰ
ἐξανθοῦντα τοῦ Λιβάνου ἐξέλιπε.
5 τὰ ὄρη ἐσείσθησαν ἀπ᾿ αὐτοῦ, καὶ οἱ
βουνοὶ ἐσαλεύθησαν· καὶ ἀνεστάλη ἡ γῆ ἀπὸ
προσώπου αὐτοῦ ἡ σύμπασα καὶ πάντες οἱ
κατοικοῦντες ἐν αὐτῇ.
6 ἀπὸ προσώπου ὀργῆς αὐτοῦ τίς
ὑποστήσεται; καὶ τίς ἀντιστήσεται ἐν ὀργῇ
θυμοῦ αὐτοῦ; ὁ θυμὸς αὐτοῦ τήκει ἀρχάς, καὶ
αἱ πέτραι διεθρύβησαν ἀπ᾿ αὐτοῦ.
7 χρηστὸς Κύριος τοῖς ὑπομένουσιν αὐτὸν
ἐν ἡμέρᾳ θλίψεως καὶ γινώσκων τοὺς
εὐλαβουμένους αὐτόν·
8 καὶ ἐν κατακλυσμῷ πορείας συντέλειαν
ποιήσεται τούς ἐπεγειρομένους, καὶ τοὺς
ἐχθροὺς αὐτοῦ διώξεται σκότος.

9 τί λογίζεσθε ἐπὶ τὸν Κύριον; συντέλειαν
αὐτὸς ποιήσεται, οὐκ ἐκδικήσει δὶς ἐπὶ τὸ
αὐτὸ ἐν θλίψει·
10 ὅτι ἕως θεμελίου αὐτοῦ χερσωθήσεται
καὶ ὡς σμῖλαξ περιπλεκομένη βρωθήσεται
καὶ ὡς καλάμη ξηρασίας μεστή.
11 ἐκ σοῦ ἐξελεύσεται λογισμὸς κατὰ τοῦ
Κυρίου πονηρὰ βουλευόμενος ἐναντία.
12 τάδε λέγει Κύριος κατάρχων ὑδάτων
πολλῶν· καὶ οὕτως διασταλήσονται, καὶ ἡ
ἀκοή σου οὐκ ἐνακουσθήσεται ἔτι.
13 καὶ νῦν συντρίψω τὴν ράβδον αὐτοῦ ἀπὸ
σοῦ καὶ τοὺς δεσμούς σου διαρρήξω·
14 καὶ ἐντελεῖται περὶ σοῦ Κύριος, οὐ
σπαρήσεται ἐκ τοῦ ὀνόματός σου ἔτι· ἐξ
οἴκου Θεοῦ σου ἐξολοθρεύσω τὰ γλυπτὰ καὶ
χωνευτά· θήσομαι ταφήν σου, ὅτι ταχεῖς.

# 2

1 ΙΔΟΥ ἐπὶ τὰ ὄρη οἱ πόδες εὐαγγελιζομένου
καὶ ἀπαγγέλλοντος εἰρήνην· ἑόρταζε, Ἰούδα,
τὰς ἑορτάς σου, ἀπόδος τὰς εὐχάς σου, διότι
οὐ μὴ προσθήσωσιν ἔτι τοῦ διελθεῖν διὰ σοῦ
εἰς παλαίωσιν. Συντετέλεσται, ἐξῇρται.
2 ἀνέβη ἐμφυσῶν εἰς πρόσωπόν σου
ἐξαιρούμενος ἐκ θλίψεως· σκόπευσον ὁδόν,
κράτησον ὀσφύος, ἄνδρισαι τῇ ἰσχύϊ σφόδρα,
3 διότι ἀπέστρεψε Κύριος τὴν ὕβριν Ἰακώβ,
καθὼς ὕβριν τοῦ Ἰσραήλ, διότι
ἐκτινάσσοντες ἐξετίναξαν αὐτοὺς καὶ τὰ
κλήματα αὐτῶν, διέφθειραν

4 ὅπλα δυναστείας αὐτῶν ἐξ ἀνθρώπων,
ἄνδρας δυνατοὺς ἐμπαίζοντας ἐν πυρί· αἱ
ἡνίαι τῶν ἁρμάτων αὐτῶν ἐν ἡμέρᾳ
ἑτοιμασίας αὐτοῦ, καὶ οἱ ἱππεῖς
θορυβηθήσονται
5 ἐν ταῖς ὁδοῖς, καὶ συγχυθήσονται τὰ
ἅρματα καὶ συμπλακήσονται ἐν ταῖς
πλατείαις· ἡ ὅρασις αὐτῶν ὡς λαμπάδες
πυρὸς καὶ ὡς ἀστραπαὶ διατρέχουσαι.
6 καὶ μνησθήσονται οἱ μεγιστᾶνες αὐτῶν
καὶ φεύξονται ἡμέρας καὶ ἀσθενήσουσιν ἐν
τῇ πορείᾳ αὐτῶν καὶ σπεύσουσιν ἐπὶ τὰ τείχη
αὐτῆς καὶ ἑτοιμάσουσι τὰς προφυλακὰς
αὐτῶν.
7 πύλαι τῶν ποταμῶν διηνοίχθησαν, καὶ τὰ
βασίλεια διέπεσε,
8 καὶ ἡ ὑπόστασις ἀπεκαλύφθη, καὶ αὕτη
ἀνέβαινε, καὶ αἱ δοῦλαι αὐτῆς ἤγοντο καθὼς
περιστεραὶ φθεγγόμεναι ἐν καρδίαις αὐτῶν.
9 καὶ Νινευή, ὡς κολυμβήθρα ὕδατος τὰ
ὕδατα αὐτῆς, καὶ αὐτοὶ φεύγοντες οὐκ
ἔστησαν, καὶ οὐκ ἦν ὁ ἐπιβλέπων.
10 διήρπαζον τὸ ἀργύριον, διήρπαζον τὸ
χρυσίον, καὶ οὐκ ἦν πέρας τοῦ κόσμου αὐτῆς·
βεβάρυνται ὑπὲρ πάντα τὰ σκεύη τὰ
ἐπιθυμητὰ αὐτῆς.
11 ἐκτιναγμὸς καὶ ἀνατιναγμὸς καὶ
ἐκβρασμὸς καὶ καρδίας θραυσμὸς καί
ὑπόλυσις γονάτων καὶ ὠδῖνες ἐπὶ πᾶσαν
ὀσφύν, καὶ τὸ πρόσωπον πάντων ὡς
πρόσκαυμα χύτρας.
12 ποῦ ἐστι τὸ κατοικητήριον τῶν λεόντων

καὶ ἡ νομὴ ἡ οὖσα τοῖς σκύμνοις, οὗ
ἐπορεύθη λέων τοῦ εἰσελθεῖν ἐκεῖ, σκύμνος
λέοντος καὶ οὐκ ἦν ὁ ἐκφοβῶν;
13 λέων ἥρπασε τὰ ἱκανὰ τοῖς σκύμνοις
αὐτοῦ καὶ ἀπέπνιξε τοῖς λέουσιν αὐτοῦ καὶ
ἔπλησε θήρας νοσσιὰν αὐτοῦ καὶ τὸ
κατοικητήριον αὐτοῦ ἁρπαγῆς.
14 ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει Κύριος
παντοκράτωρ, καὶ ἐκκαύσω ἐν καπνῷ πλῆθός
σου, καὶ τοὺς λέοντάς σου καταφάγεται
ρομφαία, καὶ ἐξολοθρεύσω ἐκ τῆς γῆς τὴν
θήραν σου, καὶ οὐ μὴ ἀκουσθῇ οὐκέτι τὰ ἔργα
σου.

# 3

1 Ω πόλις αἱμάτων, ὅλη ψευδής, ἀδικίας
πλήρης, οὐ ψηλαφηθήσεται θήρα.
2 φωνὴ μαστίγων καὶ φωνὴ σεισμοῦ τροχῶν
καὶ ἵππου διώκοντος καὶ ἅρματος
ἀναβράσσοντος
3 καὶ ἱππέως ἀναβαίνοντος καὶ στιλβούσης
ρομφαίας καὶ ἐξαστραπτόντων ὅπλων καὶ
πλήθους τραυματιῶν καὶ βαρείας πτώσεως·
καὶ οὐκ ἦν πέρας τοῖς ἔθνεσιν αὐτῆς, καὶ
ἀσθενήσουσιν ἐν τοῖς σώμασιν αὐτῶν ἀπὸ
πλήθους πορνείας.
4 πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη
φαρμάκων, ἡ πωλοῦσα ἔθνη ἐν τῇ πορνείᾳ
αὐτῆς καὶ λαοὺς ἐν τοῖς φαρμάκοις αὐτῆς.
5 ἰδοὺ ἐγὼ ἐπὶ σέ, λέγει Κύριος ὁ Θεὸς ὁ
παντοκράτωρ, καὶ ἀποκαλύψω τὰ ὀπίσω σου
ἐπὶ τὸ πρόσωπόν σου καὶ δείξω ἔθνεσι τὴν

αἰσχύνην σου καὶ βασιλείαις τὴν ἀτιμίαν
σου.
6 καὶ ἐπιρρίψω ἐπὶ σὲ βδελυγμὸν κατὰ τὰς
ἀκαθαρσίας σου καὶ θήσομαί σε εἰς
παράδειγμα,
7 καὶ ἔσται πᾶς ὁ ὁρῶν σε καταβήσεται ἀπὸ
σοῦ καὶ ἐρεῖ· δειλαία Νινευή· τίς στενάξει
αὐτήν; πόθεν ζητήσω παράκλησιν αὐτῇ;
8 ἑτοίμασαι μερίδα, ἅρμοσαι χορδήν,
ἑτοίμασαι μερίδα, Ἀμμὼν ἡ κατοικοῦσα ἐν
ποταμοῖς, ὕδωρ κύκλῳ αὐτῆς, ἧς ἡ ἀρχὴ
θάλασσα καὶ ὕδωρ τὰ τείχη αὐτῆς,
9 καὶ Αἰθιοπία ἰσχὺς αὐτῆς καὶ Αἴγυπτος,
καὶ οὐκ ἔστη πέρας τῆς φυγῆς, καὶ Λίβυες
ἐγένοντο βοηθοὶ αὐτῆς.
10 καὶ αὐτὴ εἰς μετοικεσίαν πορεύσεται
αἰχμάλωτος, καὶ τὰ νήπια αὐτῆς ἐδαφιοῦσιν
ἐπ᾽ ἀρχὰς πασῶν τῶν ὁδῶν αὐτῆς, καὶ ἐπὶ
πάντα τὰ ἔνδοξα αὐτῆς βαλοῦσι κλήρους, καὶ
πάντες οἱ μεγιστᾶνες αὐτῆς δεθήσονται
χειροπέδαις.
11 καὶ σὺ μεθυσθήσῃ καὶ ἔσῃ ὑπερεωραμένη,
καὶ σὺ ζητήσεις σεαυτῇ στάσιν ἐξ ἐχθρῶν.
12 πάντα τὰ ὀχυρώματά σου συκαῖ σκοποὺς
ἔχουσαι· ἐὰν σαλευθῶσι, καὶ πεσοῦνται εἰς
στόμα ἔσθοντος.
13 ἰδοὺ ὁ λαός σου ὡς γυναῖκες ἐν σοί· τοῖς
ἐχθροῖς σου ἀνοιγόμεναι ἀνοιχθήσονται
πύλαι τῆς γῆς σου, καὶ καταφάγεται πῦρ τοὺς
μοχλούς σου.
14 ὕδωρ περιοχῆς ἐπίσπασαι σεαυτῇ καὶ
κατακράτησον τῶν ὀχυρωμάτων σου, ἔμβηθι

εἰς πηλὸν καὶ συμπατήθητι ἐν ἀχύροις,
κατακράτησον ὑπὲρ πλίνθον·
15 ἐκεῖ καταφάγεταί σε πῦρ, ἐξολοθρεύσει
σε ρομφαία, καταφάγεταί σε ὡς ἀκρίς, καὶ
βαρυνθήσῃ ὡς βροῦχος.
16 ἐπλήθυνας τὰς ἐμπορίας σου ὑπὲρ τὰ
ἄστρα τοῦ οὐρανοῦ· βροῦχος ὥρμησε καὶ
ἐξεπετάσθη.
17 ἐξήλατο ὡς ἀττέλεβος ὁ σύμμεικτός σου,
ὡς ἀκρὶς ἐπιβεβηκυῖα ἐπὶ φραγμὸν ἐν ἡμέρᾳ
πάγους· ὁ ἥλιος ἀνέτειλε, καὶ ἀφήλατο, καὶ
οὐκ ἔγνω τὸν τόπον αὐτῆς· οὐαὶ αὐτοῖς.
18 ἐνύσταξαν οἱ ποιμένες σου, βασιλεὺς
Ἀσσύριος ἐκοίμισε τοὺς δυνάστας σου·
ἀπῇρεν ὁ λαός σου ἐπὶ τὰ ὄρη, καὶ οὐκ ἦν ὁ
ἐκδεχόμενος.
19 οὐκ ἔστιν ἴασις τῇ συντριβῇ σου,
ἐφλέγμανεν ἡ πληγή σου· πάντες οἱ
ἀκούοντες τὴν ἀγγελίαν σου κροτήσουσι
χεῖρας ἐπὶ σέ· διότι ἐπὶ τίνα οὐκ ἐπῆλθεν ἡ
κακία σου διαπαντός;

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA

## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a